# ΑΡΙΘΜΟΙ

1 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ τῇ Σινα ἐν
τῇ σκηνῇ τοῦ μαρτυρίου ἐν μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου ἔτους
2 δευτέρου ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου λέγων [2]Λάβετε ἀρ-
χὴν πάσης συναγωγῆς υἱῶν Ισραηλ κατὰ συγγενείας αὐτῶν κατ᾽
οἴκους πατριῶν αὐτῶν κατὰ ἀριθμὸν ἐξ ὀνόματος αὐτῶν κατὰ
3 κεφαλὴν αὐτῶν, πᾶς ἄρσην [3]ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ
ἐκπορευόμενος ἐν δυνάμει Ισραηλ, ἐπισκέψασθε αὐτοὺς σὺν δυνά-
4 μει αὐτῶν, σὺ καὶ Ααρων ἐπισκέψασθε αὐτούς. [4]καὶ μεθ᾽ ὑμῶν
ἔσονται ἕκαστος κατὰ φυλὴν ἑκάστου ἀρχόντων, κατ᾽ οἴκους πα-
5 τριῶν ἔσονται. [5]καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οἵτινες παρα-
6 στήσονται μεθ᾽ ὑμῶν· τῶν Ρουβην Ελισουρ υἱὸς Σεδιουρ· [6]τῶν
7 Συμεων Σαλαμιηλ υἱὸς Σουρισαδαι· [7]τῶν Ιουδα Ναασσων υἱὸς
8 9 Αμιναδαβ· [8]τῶν Ισσαχαρ Ναθαναηλ υἱὸς Σωγαρ· [9]τῶν Ζαβουλων
10 Ελιαβ υἱὸς Χαιλων· [10]τῶν υἱῶν Ιωσηφ, τῶν Εφραιμ Ελισαμα υἱὸς
11 Εμιουδ, τῶν Μανασση Γαμαλιηλ υἱὸς Φαδασσουρ· [11]τῶν Βενιαμιν
12 13 Αβιδαν υἱὸς Γαδεωνι· [12]τῶν Δαν Αχιεζερ υἱὸς Αμισαδαι· [13]τῶν
14 Ασηρ Φαγαιηλ υἱὸς Εχραν· [14]τῶν Γαδ Ελισαφ υἱὸς Ραγουηλ·
15 16 [15]τῶν Νεφθαλι Αχιρε υἱὸς Αιναν. [16]οὗτοι ἐπίκλητοι τῆς συναγω-
γῆς, ἄρχοντες τῶν φυλῶν κατὰ πατριάς, χιλίαρχοι Ισραηλ εἰσίν.
17 [17]καὶ ἔλαβεν Μωυσῆς καὶ Ααρων τοὺς ἄνδρας τούτους τοὺς ἀνα-
18 κληθέντας ἐξ ὀνόματος [18]καὶ πᾶσαν τὴν συναγωγὴν συνήγαγον
ἐν μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου ἔτους καὶ ἐπηξονοῦσαν κατὰ γενέ-
σεις αὐτῶν κατὰ πατριὰς αὐτῶν κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν
ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω πᾶν ἀρσενικὸν κατὰ κεφαλὴν αὐτῶν,
19 [19]ὃν τρόπον συνέταξεν κύριος τῷ Μωυσῇ· καὶ ἐπεσκέπησαν ἐν
τῇ ἐρήμῳ τῇ Σινα.
20 [20]Καὶ ἐγένοντο οἱ υἱοὶ Ρουβην πρωτοτόκου Ισραηλ κατὰ συγγε-
νείας αὐτῶν κατὰ δήμους αὐτῶν κατ᾽ οἴκους πατριῶν αὐτῶν κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ

Num.: BA, **5** 26—**7** 20 (ualde mutila) etiam S.

**1** 2 υιων > B† | αυτων 1º 2º > B | αυτων 3º] > B, in *O* sub ÷ || 4 εκαστος] + εκαστος A | κατ] pr. και B*† || 5 των ult.] τω A: item in 6—9, non in 10—15 | ρουβην] pr. υιων B* | σεδιουρ] σ > A: item in **2** 10, non in **7** 30. 35 **10** 18 || 7 νασσων B hic, non in **2** 3 **7** 12. 17 **10** 14 || 10 εμιουδ] pr. σ A hic, non in **2** 18 **7** 48. 53 **10** 22 **34** 20; pr. σ B* in **34** 20 | φαδασουρ B: item A in **7** 54, sed ambo ceteris locis φαδασσουρ || 11 γεδεωνει B hic, non in **2** 22 **7** 65 **10** 24 (in **7** 60 B† γαδαιωνει) || 16 πατριας] + αυτων A || 18 την > A† | συνηγαγον] εξεκκλησιασαν A | επηξονουσαν B†] επεσκεπησαν A || 19 τη ult.] του A